**14** Stob. 4. 34. 23

> οὐδὲ μάκαρ οὐδεὶς πέλεται βροτός, ἀλλὰ πονηροὶ
> πάντες ὅσους θνητοὺς ἠέλιος καθορᾶι.

**15** Plut. *Sol.* 3. 2; Theogn. 315 - 18

> πολλοὶ γὰρ πλουτέουσι κακοί, ἀγαθοὶ δὲ πένονται·
> ἀλλ' ἡμεῖς τούτοις οὐ διαμειψόμεθα
> τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί,
> χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

2-4 Plut. *de prof. virt.* 6 p. 78c, *de tranqu. animi* 13 p. 472d; Basil. *ad adulescentes* 5. 45 p. 48 Boulenger; 2-3 (—πλοῦτον) Plut. *de inim. util.* 11 p. 92e.

**16** Clem. *Strom.* 5. 81. 1

> γνωμοσύνης δ' ἀφανὲς χαλεπώτατόν ἐστι νοῆσαι
> μέτρον, ὃ δὴ πάντων πείρατα μοῦνον ἔχει.

**17** Clem. *Strom.* 5. 129. 5

> πάντηι δ' ἀθανάτων ἀφανὴς νόος ἀνθρώποισιν.

**18** Ps.-Plato, *Amat.* 133c; Plut. *Sol.* 2. 2, 31. 6; etc.

> γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος.

**19** Herodotus 5. 113. 2 *καὶ ὁ Σολίων βασιλεὺς Ἀριστόκυπρος ὁ Φιλοκύπρου, Φιλοκύπρου δὲ τούτου τὸν Σόλων ὁ Ἀθηναῖος ἀπικόμενος ἐς Κύπρον ἐν ἔπεσιν αἴνεσε τυράννων μάλιστα.*
Plut. *Sol.* 26. 2-4 *ἔπειτα πλεύσας εἰς Κύπρον ἠγαπήθη δια-*